
18-12-2020 ΟΡΘΡΟΣ ΠΑΡΑΣΚΕΥΗΣ ΗΧΟΣ Γ΄


† Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σεβαστιανοῦ, καὶ τῶν σὺν αὐτῷ .

Ἦχος Πα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (Τὸ ὡς ἄνω)


Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἦχος δ Πα

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.




Καὶ νῦν...

Τῇ Παρασκευῇ πρωΐ.

Εἰς τό, Θεὸς Κύριος, Ἦχος α΄.

Οἱ τὴν σὴν προστασίαν, κεκτημένοι Ἄχραντε, καὶ ταῖς ἱκεσίαις, τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου, ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες, εὐσεβῶς μεγαλύνομεν.


Ἦχος Πα Δι



Μετὰ τὴν α΄ Στιχολογίαν
Καθίσματα Σταυρώσιμα


Ἦχος γ΄ Γα

Σταυρὸς ἐπάγη ἐπὶ γῆς, καὶ ἥψατο τῶν οὐρανῶν, οὐχ ὡς τοῦ ξύλου φθάσαντος τὸ ὕψος, ἀλλὰ σοῦ τοῦ ἐν αὐτῷ πληροῦντος τὰ σύμπαντα, Κύριε δόξα σοι.



Στιχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ, ὑψώθης ὁ Ἀμνὸς τοῦ Θεοῦ, ἵνα σώσῃς τοὺς ἐν πίστει προσκυνοῦντας, τὴν ἑκούσιόν σου σταύρωσιν, Χριστὲ ὁ Θεός, δόξα σοι.



Δόξα... **Κ**αὶ νῦν ... *Σταυροθεοτοκίον*

Τὴν ὡραιότητα

Χαρὰν ἡ σύμπασα, κτίσις ὁρῶσά σε, χαίρει μακρόθυμε, Σταυρῷ ὑψούμενον, ἡ πανακήρατος Ἁγνή, ἐβόα καὶ πανάμωμος· λύτρωσιν γὰρ εὕρατο, διὰ σοῦ τέκνον φίλτατον· ξύλῳ γὰρ ἰάτρευσας, τὴν τοῦ ξύλου κατάκρισιν· ἐγὼ δὲ νῦν τὰ σπλάγχνα δονοῦμαι, μὴ φέρουσα ὁρᾷν σε θανατούμενον.

Μετὰ τὴν β΄ Στιχολογίαν

Καθίσματα Σταυρώσιμα ὅμοια

Τὴν ὡραιότητα

Τὸ ἀναρίθμητον, τῆς ἐξουσίας σου, καὶ τὸ ἑκούσιον, τὸ τῆς σταυρώσεως, αἱ τῶν Ἀγγέλων στρατιαί, ἐξίσταντο καθορῶσαι, πῶς ὁ ἀθεώρητος, ἐν σαρκὶ ἐμαστίζετο, θέλων ἐκλυτρώσασθαι, τῆς φθορᾶς τὸ ἀνθρώπινον; διὸ ὡς ζωοδότη βοῶμέν σοι· Δόξα Χριστὲ τῇ εὐσπλαγχνίᾳ σου.

Στιχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.


Σταυρὸν καὶ θάνατον, παθεῖν ἑλόμενος, μέσον τῆς κτίσεως, ταῦτα ὑπέμεινας, ὅτε ηὐδόκησας Σωτήρ, τὸ σῶμά σου προσηλῶσαι, τότε καὶ ὁ ἥλιος, τὰς ἀκτῖνας ἀπέκρυψε, τότε καὶ Λῃστὴς ἰδών, ἐν Σταυρῷ σε ἀνύμνησε, βοῶν σοι εὐλαβῶς· Μνήσθητί μου, καὶ ἔλαβε πιστεύσας τὸν Παράδεισον.

Δόξα... Καὶ νῦν ... Σταυροθεοτοκίον

Ἡ ἀπειρόζυγος, καὶ θεία δάμαλις, κατανοήσασα, μόσχον τὸν ἴδιον, ἐθελουσίως ἐν Σταυρῷ, τὸ πάθος ὑπομένοντα, οἴμοι τέκνον! ἔλεγε· τί τὸ ξένον μυστήριον; πῶς ὁ ὢν ἀθάνατος, κατεδέξω τὸν θάνατον, ὑμνῶ σου τό, μακρόθυμον Λόγε, δοξάζω τὸ ἀμέτρητον ἔλεος.

Μετὰ τὴν γ΄ Στιχολογίαν
Καθίσματα Σταυρώσιμα

Ὁ ῥαπισθεὶς ὑπὲρ γένους ἀνθρώπων, καὶ μὴ ὀργισθείς, ἐλευθέρωσον ἐκ φθορᾶς, τὴν ζωὴν ἡμῶν Κύριε, καὶ σῶσον ἡμᾶς.




Μαρτυρικὸν

Στιχ. **Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τὸ εὔψυχον τῆς καρτερίας ὑμῶν, ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Ἀθλοφόροι πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος, ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ τοῦ φιλοχρίστου λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Μαρτυρικὸν



Δόξα... Καὶ νῦν ... Σταυροθεοτοκίον

Τὴν ὡραιότητα

Τὰ ἐπουράνια, ἰδόντα ἔφριξαν, καὶ τὰ ἐπίγεια, φόβῳ ἐτρόμαξαν, ὅτε ὑψώθης ἐν

Σταυρῷ, ἐκὼν ὁ ἀναμάρτητος, ἥλιος ἐσκότασε, καὶ σελήνη ἠμαύρωται, τότε καὶ ἡ Μήτηρ σου, θρηνῳδοῦσα ἐφθέγγετο. Υἱέ μου, τί τὸ ὅραμα τοῦτο; πῶς ὑπὲρ πάντων μόνος πέπονθας;

Εἶτα ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν Σταυρώσιμος

Ὠδὴ α΄.


Ἦχος γ΄


Ὁ Εἱρμὸς

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.


Κύματα θαλάσσης, τῇ ῥάβδῳ ἔπηξας, καὶ διήγαγες λαόν, προμηνύων τὸν Σταυρόν σου, δι΄ οὗ ἔτεμες ὕδωρ τῆς πλάνης, καὶ πρὸς γῆν Οἰκτίρμον, θεογνωσίας ἔσωσας, ἅπαντας τοὺς ἐν πίστει, ὑμνοῦντάς σου τὴν δύναμιν.






Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἄλβυσσον ὁ ποιήσας, τῇ προστάξει σου, ὑπερῷα δυνατέ, ὁ στεγάζων ἐφ΄ ὑδάτων, ὁ τὴν γαῖαν κρεμάσας, κρεμᾶσαι ἐπὶ ξύλου, καὶ σαλεύεις, πᾶσαν τὴν κτίσιν νεύματι, πάντων δὲ τὰς καρδίας, στηρίζεις ἐν φόβῳ σου.







Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ περικαλλὴς καὶ Παρθένος Δέσποινα, ὃν ἐκύησεν Υἱόν, θεωρήσασα ἐν ξύλῳ ὑψωθέντα βουλήσει, ἠλάλαζε βοῶσα ἐν ὀδύνῃ· Θεὲ τῶν ὅλων εὔσπλαγχνε, Κύριος ὢν τῆς δόξης, πῶς ταῦτα πάσχεις Δέσποτα;





λη σει η λα λα ζε βο ω σα εν ο δυ υ νη
Θε ε των ο λων ευ σπλαγ χνε Κυ ρι ος
ω ων της δο ξης πως ταυ τα πα σχεις Δε ε σπο
τα

Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου,

Ὠδὴ α΄. Ἦχος γ΄.

Ὁ Εἱρμός. Ἄσωμεν τῷ Κυρίῳ,




Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ νοερὰ νεφέλη, τῆς οὐρανίου αἴγλης, ἀκτῖνα ἀνατείλασα ἀρρήτως, θείας ἐπιγνώσεως φῶς, καὶ μετανοίας, κατέλαμψε πᾶσιν ἡμῖν ἡ μόνη Θεοτόκος, καὶ σωτηρία ἡμῶν. (Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Καταφυγὴν ταχεῖαν, καὶ ὀχύρωμα, τεῖχος, καὶ προπύργιον, καὶ ἀσφαλῆ λιμένα, σὲ τὴν Θεομήτορα πάντες κεκτημένοι, οἱ ἐν πελάγει τῶν δυσχερῶν καὶ θλίψεων σαλεύοντες, κινδύνων λυτρούμεθα.

Σπ/χ.



Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε ἀρρήτου, δόξης οἰκητήριον. Χαῖρε ἐνδιαίτημα, τοῦ νοητοῦ Ἡλίου. Χαῖρε τὸ κειμήλιον, τὸ τῆς παρθενίας. Χαῖρε τὸ θεῖον ὄχημα, τοῦ Λόγου τῆς Θεότητος. Χαῖρε τροφὲ τῆς πάντων ζωῆς.

Ὠδὴ α΄ τοῦ Μηναίου
Ἦχος α΄
Σοῦ ἡ τροπαιοῦχος δεξιά...

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Θείαις φαιδρυνόμενος αὐγαῖς, τῆς σεβασμίου Τριάδος Ἀοίδιμε, πίστει τοὺς τιμῶντάς σου, τὴν φωταυγῆ καὶ ἱερὰν πανήγυριν, σοῦ ταῖς ἱκεσίαις, φωτὸς μετόχους ἀνάδειξον.(Δὶς)

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔχων λογισμὸν φωτοειδῆ, καὶ δεκτικὸν καθαρῶν ἐπιλάμψεων, μόνον ἐπεπόθησας, τὸ ὄντως Ὄν, ὡς νουνεχὴς καὶ φρόνιμος, Μάρτυς ἀθλοφόρε, καὶ τούτου πίστει τετύχηκας.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱδρῶσιν ἐνθέοις ἀληθῶς, τὰ τῆς σαρκὸς ἀμαυρώσας φρονήματα, αἵμασιν ἀθλήσεως, τοὺς θολεροὺς χειμάρρους ἀπεξήρανας, τῆς πολυθεΐας, θεόφρον Μάρτυς πολύαθλε.

Δόξα...

Ὅμιλον προσῆξας Ἀθλητῶν, διδασκαλίαις σου θείαις τῷ Κτίσαντι, πᾶσαν τὴν διάνοιαν, τῶν διωκτῶν καταβαλὼν τῇ χάριτι, Πνεύματος Ἁγίου, μεθ΄ ὧν πρεσβεύεις σωθῆναι ἡμᾶς.


Καὶ νῦν... *Θεοτοκίον*

Νέον ἀπεκύησας Υἱόν, τὸν πρὸ αἰώνων Πατρὶ συννοούμενον, φύσεως καινίσασα, νόμους ἁγνή, Παρθενομῆτορ ἄχραντε, ἐν τῇ ὑπὲρ φύσιν, σεπτῇ καὶ θείᾳ γεννήσει σου.

Κανὼν Σταυρώσιμος


Ὠδὴ γ΄. Ἦχος γ΄. Ὁ Εἱρμὸς


Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ σου αἵματι.



Στίχ. **Δ**όξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.


Μίαν σύνθετον, φέρων ὑπόστασιν Λόγε, ὑπέμεινας σταύρωσιν ἀτιμοτάτην, τοῖς τιμῶσί σε, τιμῆς οὖσαν πρόξενον.





Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.


Ἀπελύθησαν, οἱ γηγενεῖς τῆς κατάρας, κατάρα σοῦ Δέσποτα γεγενημένου, καὶ Σταυρῷ, τὴν εὐλογίαν πηγάσαντος.



Σταυροθεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Συντετήρηται, καὶ μετὰ τόκον παρθένος, ἡ Θεὸν ἁγνὴ τέξασα σεσαρκωμένον, τὸν Σταυρῷ, προσηλωθέντα βουλήματι.


Σπ/χ.
πε ρα γι α Θε ο το κε σω ω
σον η μας
Συν τε τη ρη ται και με τα το κο ον
παρ θε ε ενος η Θε ον αγνη τε ξα σα σε
σαρ κω με νον τον Σταυ ρω προ ση λω
θε εν τα βου λη η μά τι

Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου,
Ὠδὴ γ΄
Ἦχος γ΄
Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ,

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ ἀκηλίδωτος Ἀμνὰς καὶ Παρθένος, τὸν ἀμνὸν τὸν αἴροντα πᾶσαν νόσον, Θεοτόκε κυήσασα, σῴζε τὴν ποίμνην σου.(Δὶς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὺ τὸν οὐράνιον καρποφορήσασα βότρυν, καὶ κρατῆρα πλήσασα τῆς μετανοίας, ἁμαρτωλοῖς τὴν συγχώρησιν ἐγεώργησας.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Οἱ ἐν πελάγει θαλαττεύοντες ἁμαρτίας, καὶ πταισμάτων ἅλμῃ καταποθέντες, τῷ γλυκασμῷ σῆς πρεσβείας, συγκαταφεύγομεν.

Ὠδὴ γ΄ τοῦ Μηναίου
Ἦχος α΄
Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στρατὸν ἐπαγόμενος σεπτόν, τῆς θείας ὅπλοις πίστεως, ὠχυρωμένον Μάρτυς ἀήττητε, τὰς παρατάξεις τοῦ πολεμήτορος, καὶ τὰ

πανουργεύματα τῶν Τυράννων ἅπαντα, καταβάλλεις τῷ σθένει τοῦ Πνεύματος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐρείσας ἐν πέτρᾳ νοητῇ, τὰς βάσεις τῆς καρδίας σου, εὐσεβοφρόνως Μάρτυς πολύαθλε, οὐ παρετράπης τοῖς μηχανήμασι, τοῦ δολίου δράκοντος, ἀλλὰ πᾶσιν ἔρεισμα, εὐσεβείας ἐν Πνεύματι γέγονας.

Δόξα...

Βελῶν ἐκκεντήσεις χαλεπάς, ὑπέφερες δεσμούμενος, καὶ ἐπὶ ξύλου Μάρτυς τεινόμενος, Θεοῦ δὲ θείᾳ δυνάμει ἔνδοξε, ἀσινὴς ὁλόκληρος, αὖθις ἀπεδείκνυσο, καταισχύνων ἐχθροῦ μηχανήματα.

Καὶ νῦν... Θεοτοκίον

Ἁγίασμα ὤφθης νοητόν, τοῦ πάντας ἁγιάζοντος, καὶ καθαρὸν Πανάμωμε σκήνωμα· ἐκ σοῦ γὰρ ὤφθη Θεὸς σαρκούμενος, καὶ διπλοῦς ταῖς φύσεσι, κόσμῳ γνωριζόμενος, ἐν μιᾷ ὑποστάσει Θεόνυμφε.


Εἶτα ψάλλεται

Ὁ Εἱρμὸς τῆς γ΄ ᾠδῆς τοῦ κανόνος τοῦ μηναίου.

Ἦχος α΄.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν

ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.



Κάθισμα

Ἦχος α΄

Τὸν τάφον σου Σωτῆρ

Τῷ βίῳ τῷ φαιδρῷ, συναστράπτοντα ἔχων τὸν λόγον ἱερῶς, ἐφειλκύσω ἀγέλας, πιστῶν πρὸς εὐσέβειαν, μεθ΄ ὧν χαίρων ἐνήθλησας, πᾶσαν κάκωσιν, ὑπενεγκὼν τῶν Τυράννων· ὅθεν σήμερον τὴν παναγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον


Ὦ θαύματος φρικτοῦ! ὢ καινοῦ μυστηρίου! ἐβόα ἡ ἁγνή, καὶ πανάμωμος Κόρη, ἐν ξύλῳ ὡς ἔβλεψε, τανυσθέντα σε Κύριε, πῶς ἀδέκαστε, Κριτὰ ἁπάντων καὶ Λόγε, ὡς κατάκριτος, ὑπὸ κριτῶν παρανόμων, Σταυρῷ κατακέκρισαι;


Ὠδὴ στ΄.

Ἦχος α΄.

Ὁ Εἱρμὸς

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχύς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.




βυ υσ σος ουκ εστιν ο ρυ ο με νος ε
λο γι σθη μεν ως προ βα α τα σφα γης σω σον
τον λα ον σου ο Θε ος η μων συ γαρ ι
σχυς των α σθε νου ουν των και ε πα νο ορ
θω σι ι ι ις

Κοντάκιον

Τῇ Τετάρτῃ τοῦ Σταυροῦ

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Συναξάριο

Τῇ ΙΗ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ Ζωῆς, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου καὶ Μάρκου.

Στίχοι

Σεβαστιανὸς τῶν πλάνης σεβασμάτων
Καταφρονήσας τύπτεται τὸ σαρκίον.
Ὀγδοάτῃ δεκάτῃ Σεβαστιανὸς ῥοπαλίσθη.
Ζωὴ πρὸς ὕψος ἐκ κεφαλῆς ἠρμένη,
Καπνῷ δυσώδει λαμβάνει ζωῆς τέλος.
Ναί, βάλλετε σφοδρῶς με συχνοῖς τοῖς λίθοις,
Ἐκ καρδίας ἔκραζεν ὁ Τραγκυλῖνος.

Καὶ τοὺς περὶ Κλαύδιον ὧδε τακτέον.
Οὕς, κἄν βυθὸς συνέσχεν, οὐρανὸς φέρει.
Τιβουρτίου τέμνουσι τὴν θείαν κάραν,
Σύ μου Θεὸς κράζοντος, ὦ Θεοῦ Λόγε.
Κάστουλον εἷλκον εἰς ἀπωλείας βόθρον.
Ὡς δ' οὐχ ὑπεῖξε, γῆς ἐνεβλήθη βόθρῳ.
Ἐχθρῶν παγέντες, οἷα λόγχαι, καρδίας,
Νύττεσθε λόγχαις, Μάρκε καὶ Μαρκελλῖνε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐβιότου.

Στίχοι

Ἤθλησεν Εὐβίοτος ἄχρις αἱμάτων,
Βίου δὲ τέρμα εὗρε χωρὶς αἱμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Φλώρου, Ἐπισκόπου Ἀμινσοῦ.

Στίχοι

Εἴκων ὁ Φλῶρος τῇ πάλαι κατακρίσει,
Εἰς γῆν ἀπῆλθε· γῆ γὰρ ἦν, καὶ τὶ ξένον;

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Φωκᾶ καὶ Ἑρμύλου, διὰ ξίφους τελειωθέντων.

Στίχοι

Ἔγωγε τιμηθῶ πρῶτον, Ἕρμυλος λέγει.
Οὔ, φησὶ Φωκᾶς, ἀλλ' ὁ Φωκᾶς Ἕρμυλε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ζακχαίου διακόνου, καὶ Ἀλφειοῦ ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας καὶ θαυματουργοῦ Σοφίας καὶ τὰ Ἐγκαίνια τοῦ σεβασμίου Οἴκου τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Χαλκοπρατείοις.

Καὶ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μιχαὴλ Συγκέλλου, τοῦ Ὁμολογητοῦ.

Στίχοι

Οὐκ, εἰ τελευτᾷς Μιχαήλ, τοῦτο ξένον·
Ἀλλ' εἰ θανὼν ζῇς, ὥς περ οὖν ζῇς ἀξίως.

Ταῖς τῶν ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.


Ὠδὴ η΄, τοῦ μηναίου

Ἦχος α΄. Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,


Ἐν καμίνῳ Παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας


Ἦχος Πα



Ἄι νου μεν ευ λο γου μεν και προ σκυ νου
μεν τον Κυ ρι ον
Θν κα μι νω παι δες Ισ ρα ηλ ως εν χω
νευ τη ρι ω τω καλ λει της ευ σε βει ας κα
θα ρω τε ρον χρυ σου α πε στιλ βον λε γον τες
ευ λο γει τε παν τα τα ερ γα Κυ ρι
ου τον Κυ ρι ον υ μνει τε και υ πε ρυ
ψου τε εις παν τας τους αι ω να α α ας


Τιμιωτέρα πρώτου ἤχου.




πει νω σιν της δου λης αυ του ι δου γαρ α
πο του νυν μα κα ρι ου σι με πα σαι αι
γε νε αι
Την Τι μι ω τε ε ραν των Χε ρου
βι ι ι ιμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Σπίχος γ΄
Ο τι ε ποι η σε μοι με γα λει
α ο Δυ να τος και α γι ον το ο
νο μα αυ του και το ε λε ος αυ του


εις γε νε αν και γε νε αν τοις φο βου με νοις
αυ τον
Τ ην Τι μι ω τε ε ραν των Χε ρου
βι ι ι ιμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Σπίχος δ΄
Θ ποι η σε κρα τος εν βρα χι ο
νι αυ του δι ε σκορ πι σεν υ πε ρη
φα νους δι α νοι α καρ δι ας αυ των
Τ ην Τι μι ω τε ε ραν των Χε ρου



βι ι ι ιμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φιμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Σπίχος ε΄
Κα θει λε δυ να στας α πο θρο νων
και υ ψω σε τα πει νους πει νων τας ε
νε ε πλη σεν α γα θων και πλου τουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον


τε κου σαν την ον τως Θε ο το κον Σε με γα λυ
Ν Π
νο μεν
Στίχος στ΄
Ἄν τε λα βε το Ισ ρα ηλ παι
δος αυ του μνη σθη η ναι ε λε ε ε ους κα
θως ε λα λη σε προς τους πα τε ε ρας η
μων τω Α βρα αμ και τω σπερ μα τι αυ του
ε ως αι ω νος
Μ Π
Τ ην Τι μι ω τε ραν των Χε ρου βιμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε
Μ Π
ρα φιμ την α δι α φθο ρως Θε ον Λο
γον τε κου σαν την ον τως Θε ο το κον Σε με γα




Εἶτα ψάλλεται
Ὁ Εἱρμὸς τῆς Θ΄ ᾠδῆς τοῦ κανόνος τοῦ μηναίου.
Ἦχος α΄.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος. Καὶ νῦν καθ΄ ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.



Ἦχος Πα


Ἄ ξι ον ε στιν ως α λη θως μα κα ρι
ζειν σε την Θε ο το κον την α ει μα κα ρι
στον και πα να μω μη τον και μη τε ρα του Θε
ου η μων την τι μι ω τε ραν των Χε
ρου βιμ και εν δο ξο τε ραν α συγ κρι ι τως
των Σε ρα φιμ την α δι α φθο ρως Θε ον Λο
γον τε κου σαν την ον τως Θε ο το κον σε
με γα λυ υ νο ο με ε εν

Ἐξαποστειλάρια
Τῇ Παρασκευῇ:
Ἦχος β΄

Σταυρός, ὁ φύλαξ πάσης τῆς οἰκουμένης. Σταυρός, ἡ ὡραιότης τῆς Ἐκκλησίας, Σταυρός, Βασιλέων τὸ κραταίωμα, Σταυρός, πιστῶν τὸ στήριγμα, Σταυρός, Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Σταυροθεοτοκίον
Ἦχος γ΄
Ὁ οὐρανὸν τοῖς ἄστροις

Ἐν τῷ Σταυρῷ παρεστῶσα, ἡ σὲ ἀσπόρως τεκοῦσα, καὶ θρηνῳδοῦσα ἐβόα· Οἴμοι, γλυκύτατον Τέκνον! πῶς ἔδυς ἐξ ὀφθαλμῶν μου; πῶς ἐν νεκροῖς ἐλογίσθης;

Α Ι Ν Ο Ι

ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοὶς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ΄ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.


Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας.....

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ἀπόστιχα τῶν Αἴνων Σταυρώσιμα

Σταυροφανῶς Μωϋσῆς ἐν τῷ ὄρει, χεῖρας ἐκτείνας πρὸς ὕψος, τὸν Ἀμαλὴκ ἐτροποῦτο, σὺ δὲ Σωτὴρ τὰς παλάμας ἁπλώσας, ἐν τῷ Σταυρῷ τῷ τιμίῳ, ἐνηγκαλίσω με σώσας, τῆς δουλείας τοῦ ἐχθροῦ, καὶ ἔδωκάς μοι σημείωσιν ζωῆς, ἀπὸ τόξου φυγεῖν τῶν ἐναντίων μου· διὰ τοῦτο Λόγε, προσκυνῶ, τὸν Σταυρόν σου τὸν τίμιον.




δι α του το Λο γε προ σκυ νω τον Σταυ ρον


σου τον τι ι μι ον

Στίχ. α΄. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ΄ ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομεν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν.

Φθόνῳ τρυφῆς ἐκβέβλημαι, πτῶμα πεσὸν χαλεπόν, ἀλλ΄ οὐ παρεῖδες Δέσποτα, ἀναλαβὼν δι΄ ἐμὲ τὸ κατ΄ ἐμέ, σταυροῦσαι καὶ σῴζεις με, εἰς δόξαν εἰσάγεις με. Λυτρωτά μου δόξα σοι.


Φθο νω τρυ φης εκ βε βλη μαι πτω μα


πε σω ων χα λε πον αλλ ου πα ρει δες Δε σπο


τα Α να λα βω ων δι ε με το κατ ε με σταυ



ρου ου σαι και σω ζεις με εις δο ξαν ει σα


γεις με Λυτρω τα μου δο ο ξα σοι


Μαρτυρικὸν

Στίχ. β΄. **Κ**αὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ΄ ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ΄ ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.


Τῶν ἁγίων Ἀθλοφόρων τὴν μνήμην, δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὅτι θέατρον γενόμενοι, Ἀγγέλοις καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.


Των α γι ων Α θλο φο ο ρων την μνη


μην δευ τε λα οι α παν τες τι μη σω ω μεν ο


τι θε α τρον γε νο με νοι Αγ γε λοις και


αν θρω ποις τον της νι κης στε φα νον πα ρα


Χρι στου ε κο μι σαν το και πρε σβευ ου ου σιν





Δόξα... **Κ**αὶ νῦν... *Σταυροθεοτοκίον*

Μεγάλη τοῦ Σταυροῦ σου

Δακρύων προχοὰς κενοῦσα ἡ Πανάμωμος, ἐστέναζεν, ἐθρήνει, βοῶσα ἐκ βαθέων ψυχῆς. Φῶς γλυκύτατον, πῶς ἔδυς Ἰησοῦ μου; ὁ κτίσας λόγῳ πάντα, πῶς νεκρὸς ἄφωνος ἐν Σταυρῷ νῦν ὁρᾶσαι;

Ἦχος Γα




εκ βα α θε ων ψυ χης Φως γλυ κυ τα τον πως ε
δυς Ι η σου ου μου ο κτι σας λο γω πα
αν τα πως νε κρος α φω νος εν Σταυ ρω νυ υν ο
ρα α σαι αι αι αι

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.


Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἦχος δ Πα

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.




Δόξα... Καὶ νῦν...

Τῇ Παρασκευῇ

Εἰς τὸ τέλος τοῦ Ὄρθρου, Ἦχος α΄.

Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, χαῖρε Νύμφη ἀνύμφευτε.


Ἦχος Πα Δι




Εἰς τήν Θείαν Λειτουργία


ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος λ ἀ Νη



ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Ϲοι Κυ ρι ε


Ἀντίφωνο Α΄

Ἦχος Δι




Ἀ μη ην

Στίχ. α΄




Ἀ γα θον το ε ξο μο λο γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο νο μα τι σου Υ ψι στε




Τ αις πρε σβει αις της Θε ο το κου Σω τερ σω σον η μας

Στίχ. β΄



Τ ου α ναγ γε λειν τω πρω ι το ε λε ος σου και την α λη θει αν σου κα τα νυ κτα



Τ αις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον η μας


Στίχ. γ΄


Ο τι ευ φρα νας με Κυ ρι


ε εν τοις ποι η μα σι σου και εν τοις


ερ γοις των χει ρων σου α γαλ λι α σο


μαι


Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον η μας

Στίχ. δ΄


Ο τι ευ θυς Κυ ρι ος ο


Θε ος η μων και ουκ ε στιν α δι κι


α εν αυ τω


Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σωσον ημας

Δόξα Πατρὶ...Καὶ νῦν...

Το τελευταίον.


Ταις πρεσβειαις της Θε ο


το οκου Σωτερ σωσον η μα α ας


Ἀντίφωνο Β΄


Ἦχος


Ἀ μη ην

Στίχ. α΄



Ο Κυ ρι ος ε βα σι λευ



σεν ευ πρε πει αν ε νε δυ σα το ε



νε δυ σα το Κυ ρι ος δυ να μιν και


πε ρι ε ζω σα το


Πρε σβει αις των α γι ων σου σωσον η


μας Κυ ρι ε
Στίχ. β΄
Γ
Δ
Ἤ αι γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται
Δ
Β
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Στίχ. γ΄
Θαυ μα στοι οι με τε ω
ρι σμοι της θα λασ σης θαυ μα στος εν υ
ψη λοις ο Κυ ρι ος
Δ
Β
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε


Στίχ. δ΄
Τα μαρ τυ ρι α σου ε πι
στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος


του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

Ἀντίφωνο Γ΄

Ἀντίφωνο Γ΄
Ἦχος Δι


Στιχ. α΄ Δεῦ τε α γαλ λι α σω με θα
τω Κυ ρι ω α λα λα ξω μεν τω Θε ω
τω Σω τη ρι η μων

Σω σον η μας Υι ε Θε ου ο
εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α

Στιχ. β΄ Προ φθα σω μεν το προ σω πον αυ
του εν ε ξο μο λο γη σει και εν ψαλ
μοις α λα λα ξω μεν αυ τω

Σω σον η μας Υι ε Θε ου ο


εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι


αλ λη λου ι α


Στιχ. δ΄



Ο τι Θε ος με γας Κυ ρι ος


και βα σι λευς με γας ε πι πα σαν την



γην


Σω σον η μα ας Υι ε Θε ου ο εν


Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη



λου ι α α α α

Εἰσοδικό



Ἀπολυτίκιον

Ἀπολυτίκιον



Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ


Κοντάκιον


Τῇ Τετάρτῃ τοῦ Σταυροῦ

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Κοντάκιον τοῦ Σταυροῦ.

Ἦχος Δι




αν ε χοι εν τηνσην ο πλονει ρη η νης
α ητ τη τον τρο ο παι ο ο ον

ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ
ΠΑΡΑΣΚΕΥΗ ΚΗ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρύς

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 1:15-16; 2:1-10

Τέκνον Τίτε, πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιαμμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. Τοὺς


νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν ἡμῖν.

Ἀλληλούϊα. (γ΄) Ἦχος α΄

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.


Ἦχος λ̈ ϖ̈ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Ϲοι Κυ ρι ε
Ἀ μη η η η ην
Και τω πνευ μα τι ι ι ι σϒ
Ϲοι οι οι οι οι Κυ ρι ε
Ἑτερον.
Ϲοι Κυ ρι ε ε ε ε ε ε
Ἀ α α μην


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΘΙC ΑΓΙΟC

Ἦχος λ̇ π̈ Πα Ἐναρμόνιος




Ἦχος γ΄τος



Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος λ π q Πα
Ἄ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος πλ. δ΄ Πα





η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

Κοινωνικόν

Τῇ Παρασκευῇ (Σταυρώσιμον)


Ἦχος δ΄ Δι΄ ΑΓΙΑ





Κοινωνικόν τῆς Παρασκευῆς.


Ψαλμός 73ος


Ἦχος λ π ϙ Πα




α μει ει σου την θα α α λα α α ασ σαν
συ συ νε ε τρι ι ι ψας τας κε ψα λας των
δρα κο ον των ε πι ι του υ υ δα α το ο
ος Α αλ λη λου ου ου ου ι α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα μου
ου ους Η η η η θα α αμ Α α αλ λη
λου ου ι ι α
Ση ε στι ιν η η η με ε ε ρα και ση η
ε ε ε στι ιν η η η νυξ Συ κα τηρ
τι σω φα α αυ σιν και Η η η λι ι ι ι ο



ο ον Α α αλ λη λου ου ι ι α



Συ ε ποι η σας παν τα τα ω ραι αι αι


α α τη ης γης ϑε ρος και ε ε ε αρ Συ ε


ποι οι η σα ας α αυ τα α α Α α αλ λη


λου ου ι ι α


να στα ο ο Θε ε ε ος ε πι


βλε ψον ε πι τη δι α ϑη κη ην σου μη ε πι



λα ϑη της φω νη ης των οι οι κε τω ω ω ων


σου ου ου Α α α λη ου ου ι ι α


Κοινωνικόν τῆς Παρασκευῆς. Ψαλμός 73ος
Ἡμερήσιος καταγραφή.

Ἦχος λ π ϙ Πα





Συ ε κρα ται ω σας εν τη δυ
να α μει ει σου την θα α α λα α α ασ
σαν συ συ νε ε τρι ι ι ψας τας κε ψα λας
των δρα κο ον των ε πι ι του υ υ δα α
το ο ος Α α αλ λη η η λου ου
ι ι ι α α α α
Συ δι ερ ρη ξας πη γα ας και χει ει
μα α α αρ ρους συ ε ξη ρα α νας πο τα
μου ου ους Η η η η θα α αμ Α α αλ
λη η η λου ου ι ι ι α α α α
Συ η ε στι ιν η η η με ε ε ρα και



ση η ε ε ε στι ιν η η η νυξ Συ
κα τηρ τι σω φα α αυ σιν και Η η η λι ι
ι ι ο ο ον Α α αλ λη η η λου
ου ι ι ι α α α α
Συ ε ποι η σας παν τα τα ω ραι
αι αι α α της γης θε ρος και ε ε ε αρ
Συ ε ποι οι η σα ας α αυ τα α α
Α α αλ λη η η λου ου ι ι ι α
α α α
Ἄ να στα ο ο Θε ε ε ος ε
πι βλε ψον ε πι τη δι α θη κη ην σου


μη ε πι λα θη της φω νη η ης των οι οι
κε τω ω ω ων σου ου ου Α α αλ λη
η η λου ου ι ι ι α α α α

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...



αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...


Ἦχος Δι



Τόν Εὐλογούντα...






Ἦχος Βαρύς Ζω
Με Πα να γι ι α Δε
ε σποι να υ πο την σκε ε πην σου παν τες
οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα α
κα λου ου μεν σε ε ε οι οι α να α ξι οι
προ φθα σον και λυ τρω σε η μας α πο πα
σης πε ρι στα α σε ως και α πο θα α να τον τον
ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον
οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα
αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι
να α του κο ο ο σμου ελ πις και προ στα σι ι
α των πι στων Κε χα ρι τω με ε νη η ε


Π
Z
Π
πα α κου σον των πα ρα α κα λου ουν των σε
Z
M
ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με


Ἦχος Βαρύς Ζω




μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο ο σμου ελ πις και προ στα σι
ι α των πι στων μη μου πα ρι ι δης την
δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.